προλάβωμεν ταῦτα. τῶν τεχνῶν αἱ μὲν τῷ ὑποκειμένῳ διαφέρουσιν ὡς τεκτονικὴ καὶ χαλκευτική, αἱ δὲ τῷ τέλει μόνον, οἷον ναυπηγικὴ καὶ κλινοποιική· ἀμφοτέραις γὰρ ξύλα ὑπόκειται, τὸ δὲ τέλος διάφορον. αἱ δὲ τῷ τρόπῳ ὡς ἀμφιβλιστρικὴ καὶ ἀγκιστρευτική· ἀμφότεραι γὰρ θηρῶσιν ἰχθύας, ἀλλ' ὁ τρόπος τῆς ἄγρας διάφορος· ἡ μὲν γὰρ δι' ἀμφιβλίστρου, ἡ δὲ δι' ἀγκίστρου. ζητεῖ τοίνυν καὶ ἐνταῦθα ὁ 2
Σωκράτης, τί δὴ ὑπόκειται τῇ ῥητορικῇ, οἷον ὅτι τὸ δίκαιον καὶ τὸ συμφέρον, καὶ τὸ ποιητικὸν αὐτῆς καὶ τὸ τελικόν, οἷον τὸ πεῖσαι· καὶ πεῖσαι ἆρα ἐπὶ ἀγαθῷ ἢ ἐπὶ φαύλῳ· καὶ τρόπον καὶ εἰ οἶδεν, τί ἐστι δίκαιον καὶ τί ἄδικον. ὁ γὰρ μὴ εἰδὼς ἑαυτὸν βλάπτει· αἱρεῖται γὰρ τὸ ἄδικον ὡς δίκαιον· ἐρωτηθεὶς τοίνυν τὴν ἐνέργειαν ὁ Γοργίας οὐκ ἀποδίδωσι ταύτην· λέγει γὰρ λόγους ἔχειν τὴν ῥητορικήν· διττῶς οὖν ἐστὶν ἐπιλαβέσθαι τοῦ Γοργίου· πρῶτον μέν, ὅτι ἀντὶ τῆς ἐνεργείας τὸ ὄργανον ἀποδέδωκεν· ὄργανα γὰρ τῆς ῥητορικῆς οἱ λόγοι· δεύτερον δέ, ὅτι τὰ ἰδίως ὑπάρχοντα τῇ ῥητορικῇ οὐκ εἶπεν, ὅπερ ἴδιον ὁρισμοῦ· ὥσπερ γὰρ τῆς ὑφαντικῆς ἴδιον ἡ τῶν ἱματίων ἐργασία καὶ τῆς μουσικῆς ἴδιον τὸ περὶ τὰ μέλη καταγίνεσθαι, οὕτως καὶ τῆς ῥητορικῆς ἔδει ἴδιόν τι εἰπεῖν· τὸ γὰρ περὶ λόγους καταγίνεσθαι καὶ γραμματικῆς ἐστι καὶ ἰατρικῆς. δεῖ τοίνυν εἰδέναι, ὅτι τὰ δύο αὐτῷ οὐκ ἐγκαλεῖ, ἀλλὰ μόνον, ὅτι ἰδίως οὐκ ἀποδέδωκεν· παρέλειπεν γὰρ τὸ εἰπεῖν, ὅτι ἀντὶ ἐνεργείας ὄργανον

4 cf. Plat. Sophist. 220e; 235a

1 mg. παροιμία ἐπὶ τῶν διαμαρτανόντων τινὸς οἰομένων δὲ ἐπιτυγχάνειν αὐτοῦ λεγομένη.

1 mg. αἱ τέχναι διαφέρουσιν




4. 5 ἀμφιβλιστρική M ἀμφιβληστρική ς 6. 7 ἀμφιβλίστρου M ἀμφιβλήστρου ς 24 παρέλειπεν M παρέλιπε ς